Ακαδημία Αθηνών / Academy of Athens

**ὅμοιος** (τύπ. ὁμοίιος, ὁμοῖος, ἀντίθ. ἀνόμοιος, ἐναντίος) **1.** Ὅμοιος/παρόμοιος, alike/similar, Ξενοφάνης 15.3 ἀλλ' εἰ χεῖρας ἔχον βόες ... βουσὶν ὁ μ ο ί α ς καί ⟨κε⟩ θεῶν ἰδέας ἔγραφον καὶ σώματ' ἐποίουν 23.2 εἷς θεός, ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος, οὔτι δέμας θνητοῖσιν ὁ μ ο ί ι ο ς οὐδὲ νόημα Ἐμπεδοκλῆς 17.35 ἀλλ' αὐτ(ὰ) ἔστιν ταῦτα, δι' ἀλλήλων δὲ θέοντα γίγνεται ἄλλοτε ἄλλα καὶ ἠνεκὲς αἰὲν ὁ μ ο ῖ α 62.6 τοὺς μὲν πῦρ ἀνέπεμπε θέλον πρὸς ὁ μ ο ῖ ο ν ἱκέσθαι Φιλόλαος 6.8-10 ταὶ ἀρχαὶ ὑπάρχον οὐχ ὁ μ ο ῖ α ι οὐδ' ὁμόφυλοι ἔσσαι ... τὰ μὲν ὦν ὁ μ ο ῖ α καὶ ὁμόφυλα ἁρμονίας οὐδὲν ἐπεδέοντο Διογένης 5.14-17 ὅ μ ο ι ο ν δὲ τοῦτο τὸ θερμὸν οὐδενὸς τῶν ζῴων ἐστίν (ἐπεὶ οὐδὲ τῶν ἀνθρώπων ἀλλήλοις) ... οὐ μέντοι ἀτρεκέως γε ὅ μ ο ι ο ν οὐδὲν οἷόν τε γενέσθαι τῶν ἑτεροιουμένων ἕτερον τῷ ἑτέρῳ, πρὶν τὸ αὐτὸ γένηται Δημόκριτος 249 στάσις ἐμφύλιος ἐς ἑκάτερα κακόν· καὶ γὰρ νικέουσι καὶ ἡσσωμένοις ὁ μ ο ί η φθορή Ἀρχύτας Α 17 (DK I 429,15) ἐκάλουν δὲ τὰς μὲν ἀφαιρουμένας μονάδας ὅ μ ο ι α, τὰ δὲ λειπόμενα μετὰ τὴν ἀφαίρεσιν ἀνόμοια, διὰ δύο αἰτίας, ὅτι ἐξ ἀμφοῖν τῶν ὅρων ὁμοία ἡ ἀφαίρεσις ἐγίνετο καὶ ἴση. Πρβλ. ὁμόφυλος **2.** Ὅμοιος/ταὐτός, alike/self-identical, Παρμενίδης 8.22 οὐδὲ διαιρετόν ἐστιν, ἐπεὶ πᾶν ἐστιν ὁ μ ο ῖ ο ν Ζήνων 1.5 ὅ μ ο ι ο ν δὴ τοῦτο ἅπαξ τε εἰπεῖν καὶ ἀεὶ λέγειν Μέλισσος 7(1)-(2)-(4) οὕτως οὖν ἀίδιόν ἐστι καὶ ἄπειρον καὶ ἓν καὶ ὅ μ ο ι ο ν πᾶν ... εἰ γὰρ ἑτεροιοῦται, ἀνάγκη τὸ ἐὸν μὴ ὁ μ ο ῖ ο ν εἶναι, ἀλλὰ ἀπόλλυσθαι τὸ πρόσθεν ἐόν, τὸ δὲ οὐκ ἐὸν γίνεσθαι ... οὐδ' ἂν ὁ μ ο ῖ ο ν εἴη, εἰ ἀλγέοι· ἀπογινομένου γάρ τευ ἂν ἀλγέοι ἢ προσγινομένου, κοὐκ ἂν ἔτι ὁ μ ο ῖ ο ν εἴη 8(3) δοκεῖ δὲ ἡμῖν ... ὅ,τι ἦν τε καὶ ὃ νῦν οὐδὲν ὁ μ ο ῖ ο ν εἶναι Ἀναξαγόρας 12.27-28 νοῦς δὲ πᾶς ὅ μ ο ι ό ς ἐστι καὶ ὁ μείζων καὶ ὁ ἐλάττων. ἕτερον δὲ οὐδέν ἐστιν ὅ μ ο ι ο ν οὐδενί. || **ὁμοίως.** Ὅμοια/παρόμοια, in the same way/similarly, Μέλισσος 7(8) τὸ γὰρ ἀραιὸν οὐκ ἀνυστὸν πλέων εἶναι ὁ μ ο ί ω ς τῷ πυκνῷ, ἀλλ' ἤδη τὸ ἀραιόν γε κενεώτερον γίνεται τοῦ πυκνοῦ Ἀναξαγόρας 12.8 καὶ ἂν ἐκώλυεν αὐτὸν τὰ συμμεμειγμένα, ὥστε μηδενὸς χρήματος κρατεῖν ὁ μ ο ί ω ς ὡς καὶ μόνον ἐόντα ἐφ' ἑαυτοῦ Διογένης 5.6 μετέχει δὲ οὐδὲ ἓν ὁ μ ο ί ω ς τὸ ἕτερον τῷ ἑτέρῳ, ἀλλὰ πολλοὶ τρόποι καὶ αὐτοῦ τοῦ ἀέρος καὶ τῆς νοήσιός εἰσιν Δημόκριτος Α 130 (DK II 113,33)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*εἰ καὶ μὴ πᾶσιν ὁ αὐτὸς* (sc. *χυμός*) *ὁμοίως φαίνεται* 243 *ἐν δὲ ἑκάστῃ ἀποτυχίῃ τὸ πονεῖν* (?) *ὁμοίως ἀνιηρὸν καὶ ταλαίπωρον* Ἀρχύτας 1.15 ⟨*τὰ*⟩ *δ' ὁμοίως φερόμενα, μὴ ἴσῳ δὲ τάχει, περικαταλαμβανόμενα παρὰ τῶν ἐπιφερομένων τυπτόμενα ποιεῖν ψόφον.*

**ὁμοιοσχήμων.** Ὁμοιόσχημος/ὁμοιόμορφος, of the same form/uniform, Δημόκριτος Α 128 (DK II 113,11-16) καὶ τὸν ἀέρα φησὶν εἰς *ὁμοιοσχήμονα* θρύπτεσθαι σώματα καὶ συγκαλινδεῖσθαι τοῖς ἐκ τῆς φωνῆς θραύσμασι ... καὶ ἐπὶ τῶν κοσκινευόντων δὲ ἐπὶ τὸ αὐτὸ συναλίζεται τὰ *ὁμοιοσχήμονα.*

**ὁμοιότης.** Ὁμοιότης, similarity, Δημόκριτος 164.12 *ὡς ἂν συναγωγόν τι ἐχούσης τῶν πραγμάτων τῆς ἐν τούτοις ὁμοιότητος.*

**ὁμοιοῦσθαι.** Ἐξομοιώνομαι, liken oneself to, Ἐμπεδοκλῆς 22.5 *ἀλλήλοις ἔστερκται ὁμοιωθέντ' Ἀφροδίτῃ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**ὁμολογεῖν.** Συμφωνῶ, agree, Ἡράκλειτος 50 *οὐκ ἐμοῦ, ἀλλὰ τοῦ λόγου ἀκούσαντας ὁμολογεῖν σοφόν ἐστιν ἓν πάντα εἶναι* 51 *οὐ ξυνιᾶσιν ὅκως διαφερόμενον ἑωυτῷ ὁμολογέει* Μέλισσος 8(4) *οὐ τοίνυν ταῦτα ἀλλήλοις ὁμολογεῖ.*

**ὁμόνοια** (ἀντίθ. *στάσις*). Ὁμόνοια/ὁμοφροσύνη, concord/unanimity, Δημόκριτος 250 *ἀπὸ ὁμονοίης τὰ μεγάλα ἔργα καὶ ταῖς πόλεσι τοὺς πολέμους δυνατὸν κατεργάζεσθαι, ἄλλως δ' οὔ* Ἀρχύτας 3.7 *στάσιν μὲν ἔπαυσεν, ὁμόνοιαν δὲ αὔξησεν λογισμὸς εὑρεθείς.* Πρβλ. *ὁμόνοος.*

**ὁμόνοος.** Μονοιασμένος/ὁμόφρων, concordant/of one mind, Δημόκριτος 255.5 *τοὺς πολιήτας ὁμονόους εἶναι.* Πρβλ. *ὁμόνοια.*

**ὁμοσχημονεῖν.** Παίρνω τὸ ἴδιο σχῆμα, take the same shape, Δημόκριτος Α 135 (DK II 115,2) καὶ αἱ φλέβες ⟨αἱ⟩ κατὰ τοὺς ὀφθαλμοὺς εὐθεῖαι καὶ ἄνικμοι, ὡς *ὁμοσχημονεῖν* τοῖς ἀποτυπουμένοις· τὰ γὰρ ὁμόφυλα μάλιστα ἕκαστον γνωρίζειν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ